21 Φεβρουαρίου 2012

# Χαιρετισμοί Παναγίας Παντανάσσης

Θεοτόκος / Θαύματα της Θεοτόκου



ΧΑΙΡΕΤΙΣΜΟΙ

ΗΤΟΙ, ΕΙΚΟΣΙΤΕΣΣΑΡΕΣ ΚΑΤ’ ΑΛΦΑΒΗΤΟΝ ΟΙΚΟΙ

ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

ΤΗΝ ΠΑΝΤΑΝΑΣΣΑΝ



Ποίημα Γέροντος Ιωσήφ Βατοπαιδινού

Κοντάκιον· Ήχος πλ. δ΄. Το προσταχθέν.

Τη ιερά και φωτοφόρω σου εικόνι, παρεστηκότες οι πιστοί μετ’ ευ¬λα¬βείας, ανυμνούμέν σε Παντάνασσα, οι σοί δούλοι· και δεόμενοι αιτού¬μέν σε κατάπεμψον, τάς ιάσεις τοίς προστρέχουσιν ικέταις σου, όπως κράζωμεν· Χαίρε μόνη Παντάνασσα!

ΟΙ ΟΙΚΟΙ

Άρχων ο των αγγέλων ουρανόθεν κατέπτη ειπείν τη Παντανάσση το χαίρε (εκ γ΄)· και συν τη θεοφθόγγω αυτού φωνή σαρκούμενόν σε κατιδών Κύριε, εβόησε και έπεισε την κτίσιν κράζειν προς αυτήν τοιαύτα·

Χαίρε, της ανθρώπων σωτηρίας απαρχή και αιτία·

χαίρε, της φθαρείσης φύσεως η σαφής παρηγορία.

Χαίρε, ότι γέγονε διά σου Θεός ημίν·

χαίρε, πάσης αναπλάσεως απαρχή και το αμήν.

Χαίρε, κτίσεως η έννοια εις του Κτίστου την βουλήν·

χαίρε, μόνη η δανείσασα Θεώ Λόγω την στολήν.

Χαίρε, ύψιστον αξίωμα υπερβαίνον πάντα νούν·

χαίρε, ύψος απροσμέτρητον και αυτού του ουρανού.

Χαίρε, Κόρη ηλιόμορφε, υπερτέρα του φωτός·

χαίρε, ότι τη γεννήσει σου πεπλήρωται του Γενάρχου ο σκοπός.

Χαίρε, ύψος, βάθος άρρητον των χαρίτων η αυγή·

χαίρε, και ημών των δεομένων σου ιαμάτων η πηγή.

Χαίρε, μόνη Παντάνασσα.

Βρέφος διά σου εγεγόνει ο προάναρχος Λόγος, Παρθένε, και τεχθείς απορρήτως εκ σού, παρέχει τοίς τιμώσί σε την άφεσιν και την ίασιν ωσαύτως δεομένοις σου εν τώ ψάλλειν·

Αλληλούϊα.

Γνώσιν άγνωστον η απείρανδρος μαθείν ελομένη εβόησε τώ λειτουργώ μετά δέους. Ως παρθένος αγνή, πως γενήσομαι του Υψίστου μήτηρ; ερμήνευσον· προς ην ο Αρχων έφησεν εν φόβω, πλην κραυγάζων ούτω·

Χαίρε, βουλής του Υψίστου μύστις·

χαίρε, κραυγής δεομένων η ρύστις.

Χαίρε, των πενθούντων χαρά και αντίληψις·

χαίρε, ασθενούντων ιατρός και ανάρρωσις.

Χαίρε, της καρκίνου μάστιγος η τελεία ωλετήρ·

χαίρε, πάσης άλλης μάστιγος ο ακοίμητος σωτήρ.

Χαίρε, κόσμου μόνιμος και γλυκεία προσφυγή·

χαίρε, πάσης άλλης θλίψεως θετική απαλλαγή.

Χαίρε, μόνη επακούουσα των πενθούντων του κλαυθμού·

χαίρε, και της σωτηρίας είσοδος αμετρήτου αριθμού.

Χαίρε, έμβλημα και στέφανε των πιστών Αθωνιτών·

χαίρε, μόνη απαλλάξασα καταδίκης το θνητόν.

Χαίρε, μόνη Παντάνασσα.

Δύναμις του Υψίστου επιστάσά σοι Κόρη, ηγίασέ σε όλην ως είδε, και την αυτού σάρκα παρά σου προσλαβών απορρήτως, υπέδειξε τοίς θέλουσι κομίζειν σωτηρίαν, ψάλλειν ούτως·

Αλληλούϊα.

Έλαμψας απορρήτως τη αγία μορφή σου, ως ηυδόκησας γνωσθήναι Κόρη, θαυματόβρυτον θείαν μορφήν σου, και αεννάως των θαυμάτων την χάριν παρέχεις τοίς κραυγάζουσι ταύτα·

Χαίρε, ίαμα και στήριγμα των πονούντων ακριβές·

χαίρε, σύστημα της πίστεως και ελπίδος αρραγές.

Χαίρε, είσοδος τοίς θέλουσι και βιούσιν ευσεβώς·

χαίρε, θάρρος και αντίληψις τοίς αθλούσιν ευσθενώς.

Χαίρε, μόνη προξενήσασα σωτηρίαν τοίς πιστοίς·

χαίρε, μόνη η ανοίξασα είσοδον εν ουρανοίς.

Χαίρε, κλίμαξ επουράνιε η εισάγουσα βροτούς·

χαίρε, δρόσος η πηγάζουσα τους της χάριτος κρουνούς.

Χαίρε, μόνη χαριτούσα των Παρθένων τους χορούς·

χαίρε, μόνη η γλυκαίνουσα τους δυστύνους ημών καιρούς.

Χαίρε, μόνη Παντάνασσα.

Ζωώσαι θέλων τον κόσμον ο του κόσμου πλαστουργός και Δεσπότης, ενώκησε τη μήτρα σου πανάμωμε, απειράνδρως, και μητέρα των πιστών και μεσίτριαν αναδείξας, έπεισε ανυμνείν σε εν τώ ψάλλειν·

Αλληλούϊα.

Ήκουσται παρά πάντων τα φρικτά μεγαλεία άτινα αναβλύζει, Παρθένε, η αγία και σεπτή σου εικών, τα ιάματα ως νάματα προχέουσα αεννάως. Ημείς δε τιμώντες την πανίερόν σου ταύτην μορφήν Παντάνασσα, σοί εκβοώμεν.

Χαίρε, ιαμάτων κρουνούς η προχέουσα·

χαίρε, των νοσούντων την ρώσιν αεννάως παρέχουσα.

Χαίρε, μόνη θεραπεύουσα του καρκίνου την πληγήν·

χαίρε, ότι και ημίν εβράβευσας την μορφήν σου ως πηγήν.

Χαίρε, ότι ήστραψας τώ προσώπω σου, αγνή·

χαίρε, ότι λέλυται των ανθρώπων η ποινή.

Χαίρε, ότι ρύεται διά σου φύσις βροτών·

χαίρε, ότι χαίρουσι διά σου στίφη πιστών.

Χαίρε, ύψος, βάθος άπειρον τοίς ανθρώπων λογισμοίς·

χαίρε, πλάτος το ασύγκριτον της Θεού Λόγου οσμής.

Χαίρε, έμβλημα θεόπεμπτον των πιστών ιεραρχών·

χαίρε, καύχημα και σέμνωμα των προ σου Πατριαρχών.

Χαίρε, μόνη Παντάνασσα.

Θεοφόρον παστάδα της του Λόγου νυμφεύσεως, Κόρη, έγνωμέν σε υπερβάσαν τους όρους και λόγους της φύσεως, ω Κεχαριτωμένη, ασυγκρίτω τρόπω και νόμω ως

Θεοτόκος εδίδαξας τους πάντας ψάλλειν

Αλληλούϊα.

Ίδον τάξεις αγγέλων εν χερσί σου κρατούσαν τον πλάσαντα χειρί τους ανθρώπους και ως Δέσποιναν νοούντές σε μόνην ει και δούλην, Κυρία, σεαυτήν κατήγγελλες, έσπευσαν τοίς ύμνοις θεραπεύσαι και βοήσαί σοι ευλογημένη·

Χαίρε, η των αγγέλων υπερβάσα ασυγκρίτως τάς τάξεις·

χαίρε, της σωτηρίας βλυστάνουσα αεννάως τάς πράξεις.

Χαίρε, άκουσμα και λάλημα το πληρούν τους ουρανούς·

χαίρε, τους φθαρέντας έμπαλιν μεταστρέψασα καινούς.

Χαίρε, ότι απηλλάγημεν της φθοράς οι γηγενείς·

χαίρε, ότι πέπαυται η του Άδου τυραννίς.

Χαίρε, μόνιμον σωσίβιον της κοιλάδος του κλαυθμώνος·

χαίρε, μόνιμον εξαίρετον του επιγείου κανόνος.

Χαίρε, μόνη της αγνότητος το μυρίπνοον δοχείον·

χαίρε, Κόρη αειπάρθενε, το θεόσταλτον βραβείον.

Χαίρε, άρωμα της πίστεως και βραβείον αρετής·

χαίρε, καύχημα και στέφανε Θεοτόκε τοίς πιστοίς.

Χαίρε, μόνη Παντάνασσα.

Κήρυκες θεοφόροι και ποιμένες συνάμα οι θείοι μαθηταί του Σωτήρος, επέστησάν σοι Παρθένε αθρόως ότε εκ γής απαίρειν προείλου και φωνή σιγηρά σε ανύμνουν μετά πόθου κράζοντες τό·

Αλληλούϊα.

Λάμψασα σή εικόνι, ω Παντάνασσα Μήτερ, έδειξας πολυτρόπως των θαυμάτων την χάριν ην πλουσίως παρέχεις τοίς νοσούσι, ποικίλως ρώσιν μεταδιδούσα τοίς ανιάτως πάσχουσιν· οι ποικίλων δε νόσων ρυσθέντες εβόων προς σε Θεοτόκε·

Χαίρε, ανόρθωσις των νοσούντων·

χαίρε, παράκλησις των πενθούντων.

Χαίρε, της απάτης την πλάνην σκορπίσασα·

χαίρε, των δαιμόνων τον δόλον συντρίψασα.

Χαίρε, θάλασσα βυθίσασα τον ημέτερον εχθρόν·

χαίρε, ύδωρ το αλλόμενον των του πνεύματος κρουνών.

Χαίρε, πύρινε στύλε τους πιστούς οδηγούσα·

χαίρε, στήριγμα θείον τους αθώους κρατούσα.

Χαίρε, τροφή του μάνα ασύγκριτε·

χαίρε, τρυφής αγνείας αμίμητε.

Χαίρε, η γή της Χριστού Βασιλείας·

χαίρε, κρηπίς θείας επαγγελίας.

Χαίρε, μόνη Παντάνασσα.

Μέλλοντός σου σαρκούσθαι του Θεού Θεέ Λόγε, αφράστως επεδόθης σαρκίί, ως βρέφος τώ δικαίω Συμεών· αλλ’ εγνώσθης τούτω ως Θεός τέλειος, διόπερ εξεπλάγη σου την άρρητον σοφίαν κράζων·

Αλληλούϊα.

Νέαν έδειξε κτίσιν, εμφανίσας σε Κόρη, ημίν την μέλλουσάν σε γενέσθαι μητέρα· εξ ασπόρου βλαστήσας νηδύος, ην και φυλάξας άφθορον, το θαύμα εξιστάμενοι υμνούμέν σε βοώντες·

Χαίρε, το άνθος της παρθενίας·

χαίρε, το στέφος της αφθορίας.

Χαίρε, αναπλάσεως τύπον προβάλλουσα·

χαίρε, των αύλων τον τρόπον διδάσκουσα.

Χαίρε, μάνα θείον, άφθορον εξ ού τρέφονται πιστοί·

χαίρε, θείον καταπέτασμα υφ’ ού σκέπονται πολλοί.

Χαίρε, η τετοκυία οδηγόν τοίς ανθρώποις·

χαίρε, η προσδοκία σταθερά αιχμαλώτοις.

Χαίρε, Κριτού δικαίου η μόνη δυσώπησις·

χαίρε, απείρων ενόχων και πταιόντων συγχώρησις.

Χαίρε, ελπίς και στοργή των γυμνών παρρησίας·

χαίρε, χαρά και σταθμέ της Χριστού Εκκλησίας.

Χαίρε, μόνη Παντάνασσα.

Ξένον τόκον ορώντες οι υιοί των ανθρώπων εν φόβω τον νούν επί Θεόν μεταθέντες, έγνωσαν του μυστηρίου την δύναμιν· εις τούτο γάρ ο Ύψιστος επέφανε προς το ελκύσαι τους αυτώ βοώντας·

Αλληλούϊα.

Όλος ήν εν τοίς κόλποις του Πατρός εν υψίστοις ο τους κάτω ελκύσαι ελθών απερίγραπτος Λόγος· συγκατάβασις γάρ θεϊκή, η κύησις δε παρθενική, ακούουσα υπό πάντων ταύτα·

Χαίρε, Θεού του απείρου χώρα·

χαίρε, ασυλλήπτου μυστηρίου πείρα.

Χαίρε, πίστεως η είσοδος εις τον κόσμον της φθοράς·

χαίρε, μόνη είσοδος τοίς ανθρώποις της χαράς.

Χαίρε, ίαμα και βάλσαμον πάσης Πάναγνε πληγής·

χαίρε, όλως ανυψώσασα τους φθαρέντας από γής.

Χαίρε, μόνη αποτίσασα των πταιόντων την ποινήν·

χαίρε, όντως η ανοίξασα την αιώνιον μονήν.

Χαίρε, δι΄ ής εξωφλήθη του Αδάμ η παράβασις·

χαίρε, δι΄ ής επεδόθη της Εύας η λύτρωσις.

Χαίρε, μόνη θεραπεύουσα τάς οδύνας των θνητών·

χαίρε, η αντίληψις και ελπίς η των πιστών.

Χαίρε, μόνη Παντάνασσα.

Πάσα φύσις αγγέλων και ανθρώπων συνάμα εξεπλάγη το μέγα της ασυλλήπτου σου σαρκώσεως, Λόγε. Τον το είναι πάσι παρασχόντα άϋλον Θεόν, εθεώρει προσιτόν άνθρωπον, ημίν μέν διατρίβοντα, ακούοντα δε υπό πάντων·

Αλληλούϊα.

Ρύονται των κινδύνων και των νόσων οι πάντες καταφεύγοντες προς σε Θεοτόκε· της Παναχράντου σου εικόνος η χάρις, ω Παντά¬νασ¬σα, πλουσίως εφαπλούται τοίς πάσχουσι και ίασιν παρέχει θαυμάζου¬σι πιστώς και εκβοώσιν.

Χαίρε, ιαμάτων ο κρατήρ ο αένναος·

χαίρε, των θαυμάτων ο σταθμός ο αμέτρητος.

Χαίρε, η ανακουφίζουσα παντός πόνου την πληγήν·

χαίρε, όντως η παρέχουσα της ελπίδος την πηγήν.

Χαίρε, Δέσποινα Παντάνασσα, η κουφίζουσα τους πόνους·

χαίρε, ότι τους ζητούντάς σε ουκ εγκαταλείπεις μόνους.

Χαίρε, μόνη παραμύθιον τοίς ανθρώπων στεναγμοίς·

χαίρε, όντως επακούουσα των πονούντων προς στιγμήν.

Χαίρε, πρόθεσις και στήριγμα της καλής αποταγής·

χαίρε, πρότυπον και έμβλημα της ορθής υποταγής.

Χαίρε, θησαυροφυλάκιον των του πλάστου δωρεών·

χαίρε, όρος το πανάγιον η κατοίκησις ημών.

Χαίρε, μόνη Παντάνασσα.

Σώσαι θέλων ο Κτίστης την φθαρείσαν των ανθρώπων ουσίαν επί σε κατήλθε, Πανάμωμε, και ηγίασέ σε και εθέωσε και την φύσιν πάσαν των βροτών ανασύρας, τώ αρχαίω συγκατέμιξε κάλλει, πείσας πάντας κράζειν·

Αλληλούϊα.

Τείχος εί των παρθένων, Αειπάρθενε κόρη, και πάντων των ποθούντων αγνεύειν· ο γάρ των όλων Δεσπότης κατεσκήνωσεν εν σοί Αχραντε, και ως Μητέρα αυτού, πάντας σοι προσφωνείν διδάσκει ούτω·

Χαίρε, η δόξα της Παρθενίας·

χαίρε, η βάσις της σωτηρίας.

Χαίρε, γέννημα και σφράγισμα των πατέρων της ευχής·

χαίρε, της αποκαλύψεως τέλος και ακροστιχίς.

Χαίρε, μόνη θείον αίνιγμα του Υψίστου της βουλής·

χαίρε, όντως θείον έμβλημα του Σωτήρος της στολής.

Χαίρε, κόρη ακατάληπτε, και ανέκφραστε πτυχή·

χαίρε, τη επιφανεία σου συμπληρούται η ευχή.

Χαίρε, ωσπιλε, αμόλυντε ουρανών η πλατυτέρα·

χαίρε, πάσης κτίσεως ασυγκρίτως υπερτέρα.

Χαίρε, ότι μόνη χαίρειν σοί αρμόζει, Θεοτόκε·

χαίρε, του φωτός μητέρα σύ προς τούτο Φωτοτόκε.

Χαίρε, μόνη Παντάνασσα.

Ύμνον θέλουσα η κτίσις επαξίως τώ Σωτήρι των πάντων προσ¬φέρειν, ω Πανάγαθε Δέσποινα, ουδέν ισχύει αντάξιον της παναπείρου σου φιλανθρωπίας, ών ημίν δέδωκας, αλλ΄ ούν πόθω σοι βοώμεν·

Αλληλούϊα.

Φωτοφόρον νεφέλην τοίς εν σκότει δωρείται, Χριστός ο σός Υιός, ω Παρθένε· το γάρ ανέσπερον ανέτειλε φως και προς γνώσιν δαδουχεί άπαντας, σε δε την φωτώνυμον Δέσποιναν προτρέπει αναμέλπειν ταύτα·

Χαίρε, ήλιον γεννήσασα νοητή ανατολή·

χαίρε, της μεταμορφώσεως του Χριστού θεία στολή.

Χαίρε, φως το άϋλον των αγίων στολισμός·

χαίρε, διά σου ηφάνισται των δαιμόνων σκοτισμός.

Χαίρε, όντως τον πολύφωτον ανατέλλεις φωτισμόν·

χαίρε, ότι τον αείρρητον εκπηγάζεις ποταμόν.

Χαίρε, θάλασσα ακύμαντε η μετάγουσα εκ γής·

χαίρε, μόνη θεραπεύουσα των νοσούντων τάς πληγάς.

Χαίρε, της σωτηρίας χορηγούσα τον τύπον·

χαίρε, πάσης παραβάσεως αποπλύνουσα τον ρύπον.

Χαίρε, μόνη θεραπεύουσα των πιστών τάς συνειδήσεις·

χαίρε, πάλιν ευμενίζουσα του Θεού πάσας τάς κρίσεις.

Χαίρε, μόνη Παντάνασσα.

Χάριν δούναι ευδοκήσας ενοχής βαρυτάτης, ο πάντων χρεωλύτης τώ κόσμω, επεδήμησε αυτοπροσώπως προς τους αποδήμους της αυτού Βασιλείας, και ρήξας το χειρόγραφον, ακούει υπό πάντων ούτως·

Αλληλούϊα.

Ψάλλοντές σοι τους ύμνους, ανυμνούμέν σε πάντες, ως ένθεον σκηνήν, Θεοτόκε· εν σοί γάρ οικήσας απορρήτως ο Λόγος, ο συνέχων τα πάντα, ηγίασεν, εδόξασεν, εδίδαξε βοάν σοι πάντας·

Χαίρε, άσμα ανερμήνευτον της αγγέλων υμνωδίας·

χαίρε, πρόφασις και μέλημα της ανθρώπων μελωδίας.

Χαίρε, της Τριάδος σέμνωμα ένθα μόνιμον το φώς·

χαίρε, μόνη αειπάρθενος ένθα ουχ υπάρχει πώς!

Χαίρε, άφθαστον αξίωμα υπεράνω ουρανών·

χαίρε, το υπό τον ήλιον απερίγραπτον καινόν.

Χαίρε, άφραστον μυστήριον και αιώνων και καιρών·

χαίρε, σέμνωμα και καύχημα παντός κόσμου των χωρών.

Χαίρε, άρωμα και έμβλημα ιερέων ευλαβών·

χαίρε, στέφανε και καύχημα φιλοθέων ευσεβών.

Χαίρε, έξοχον αρχέτυπον ασκητών και μοναχών·

χαίρε, πλήρωμα απάντων τε δεομένων των ευχών.

Χαίρε, μόνη Παντάνασσα.

Ω Παντάνασσα μήτερ, η τεκούσα των πάντων αγίων Αγιώτατον Λόγον (εκ γ΄), αποδεξαμένη την ημών υμνωδίαν, από πάσης συμφοράς εξελού ημάς και της μελλούσης ρύσαι κατακρίσεως τους συμβοώντας·

Αλληλούϊα.

**http://bit.ly/14xEJOI**